κηρύσσεσθαι στεφάνοις ἀρετᾶς.
τάν τ' ἀγχιστεύουσαν γᾶν
Ἰονίῳ ναύταις πόντῳ,
ἃν ὑγραίνει καλλιστεύων
ὁ ξανθὰν χαίταν πυρσαίνων
Κρᾶθις, ζαθέαις παγαῖσι τρέφων
εὔανδρόν τ' ὀλβίζων γᾶν.
καὶ μὴν Δαναῶν ὅδ' ἀπὸ στρατιᾶς
κῆρυξ, νεοχμῶν μύθων ταμίας,
στείχει ταχύπουν ἴχνος ἐξανύων.
τί φέρει; τί λέγει; δοῦλαι γὰρ δὴ
Δωρίδος ἐσμὲν χθονὸς ἤδη.

ΤΑΛΘΥΒΙΟΣ.

Ἑκάβη, πυκνὰς γὰρ οἶσθά μ' ἐς Τροίαν ὁδοὺς
ἐλθόντα κήρυκ' ἐξ Ἀχαϊκοῦ στρατοῦ,
ἐγνωσμένος δὲ καὶ πάροιθέ σοι, γύναι,
Ταλθύβιος ἥκω, κοινὸν ἀγγελῶν λόγον.

ΕΚ. τόδε τόδε, φίλαι γυναῖκες,
ὃ φόβος ἦν μοι πάλαι.
ΤΑ. ἤδη κεκλήρωσθ', εἰ τόδ' ἦν ὑμῖν φόβος.
ΕΚ. αἰαῖ. τίνα γ' ἢ Θεσσαλίας πόλιν ἢ
Φθιάδος εἶπας ἢ Καδμείας χθονός;
ΤΑ. κατ' ἄνδρ' ἑκάστη κοὐχ ὁμοῦ λελόγχατε.
ΕΚ. τίν' ἄρα τίς ἔλαχε; τίνα πότμος εὐτυχὴς
Ἰλιάδων μένει;
ΤΑ. οἶδ'· ἀλλ' ἕκαστα πυνθάνου, μὴ πάνθ' ὁμοῦ.
ΕΚ. τοὐμὸν δὲ τίς ἄρ' ἔλαχε τέκος, ἔννεπε,
τλάμονα Κασάνδραν;
ΤΑ. ἐξαίρετόν νιν ἔλαβεν Ἀγαμέμνων ἄναξ.
ΕΚ. ἦ τᾷ Λακεδαιμονίᾳ νύμφᾳ
δούλαν; ὤμοι μοι.
ΤΑ. οὐκ, ἀλλὰ λέκτρων σκότια νυμφευτήρια.
ΕΚ. ἦ τὰν Φοίβου παρθένον, ᾇ γέρας ὁ
χρυσοκόμας ἔδωκ' ἄλεκτρον ζόαν;